## SOPHOKLES, *Elektra* | Text (4): Klytaimnestra rechtfertigt den Mord – ΔΙΚΗ νιν εἷλεν

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ

*ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφει·*
*οὐ γὰρ πάρεστ᾽ Αἴγισθος, ὅς σ᾽ ἐπεῖχ᾽ ἀεὶ*
*μή τοι θυραίαν γ᾽ οὖσαν αἰσχύνειν φίλους·*
*νῦν δ᾽ ὡς ἄπεστ᾽ ἐκεῖνος, οὐδὲν ἐντρέπει*
*ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ*
*ἐξεῖπας ὡς θρασεῖα καὶ πέρα δίκης*
*ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά·*
*ἐγὼ δ᾽ ὕβριν μὲν οὐκ ἔχω, κακῶς δέ σε*
*λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.*
*πατὴρ γάρ, οὐδὲν ἄλλο, σοὶ πρόσχημ᾽ ἀεὶ*
*ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς*
*ἔξοιδα· τῶνδ᾽ ἄρνησις οὐκ ἔνεστί μοι·*
*ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη,*
*ᾗ χρῆν σ᾽ ἀρήγειν, εἰ φρονοῦσ᾽ ἐτύγχανες·*
*ἐπεὶ πατὴρ σὸς οὗτος, ὃν θρηνεῖς ἀεί,*
*τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη*
*θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ*
*λύπης, ὅς ἔσπειρ᾽, ὥσπερ ἡ τίκτουσ᾽ ἐγώ.*
*εἶεν, δίδαξον δή με τοῦ χάριν, τίνων*
*ἔθυσεν αὐτήν· πότερον Ἀργείων ἐρεῖς;*
*ἀλλ᾽ οὐ μετῆν αὐτοῖσι τήν γ᾽ ἐμὴν κτανεῖν.*
*ἀλλ᾽ ἀντ᾽ ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν*
*τἄμ᾽, οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;*
*πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,*
*οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνῄσκειν, πατρὸς*
*καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ᾽ ἦν χάριν;*
*ἢ τῶν ἐμῶν Ἅιδης τιν᾽ ἵμερον τέκνων*
*ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;*
*ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ*
*παίδων πόθος παρεῖτο, Μενέλεω δ᾽ ἐνῆν;*
*οὐ ταῦτ᾽ ἀβούλου καὶ κακοῦ γνώμην πατρός;*
*δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω:*
*φαίη δ᾽ ἂν ἡ θανοῦσά γ᾽, εἰ φωνὴν λάβοι.*
*ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις*
*δύσθυμος· εἰ δὲ σοὶ δοκῶ φρονεῖν κακῶς,*
*γνώμην δικαίαν σχοῦσα τοὺς πέλας ψέγε.*